Liberté • Égalité • Fraternité
RÉPUBLIQUE FRANÇAISE

MINISTÈRE
DE L'ÉDUCATION
NATIONALE ET
DE LA JEUNESSE

**EAE LCL 4**

**SESSION 2020**

---

# AGREGATION
# CONCOURS EXTERNE

## Section : LETTRES CLASSIQUES

## VERSION GRECQUE

Durée : 4 heures

---

*Les dictionnaires grec-français Bailly, Georgin et Magnien-Lacroix sont autorisés.*
*L'usage de tout ouvrage de référence, de tout autre dictionnaire et de tout matériel électronique (y compris la calculatrice) est rigoureusement interdit.*

*Si vous repérez ce qui vous semble être une erreur d'énoncé, vous devez le signaler très lisiblement sur votre copie, en proposer la correction et poursuivre l'épreuve en conséquence. De même, si cela vous conduit à formuler une ou plusieurs hypothèses, vous devez la (ou les) mentionner explicitement.*

**NB : Conformément au principe d'anonymat, votre copie ne doit comporter aucun signe distinctif, tel que nom, signature, origine, etc. Si le travail qui vous est demandé consiste notamment en la rédaction d'un projet ou d'une note, vous devrez impérativement vous abstenir de la signer ou de l'identifier.**

**Tournez la page S.V.P.**

**Après qu'Achille a vivement réagi en apprenant la décision d'Agamemnon de sacrifier Iphigénie, Clytemnestre l'implore de sauver sa fille.**

ΚΛΥΤΑΙΜΗΣΤΡΑ

Φεῦ ·
πῶς ἄν σ' ἐπαινέσαιμι μὴ λίαν λόγοις,
μηδ' ἐνδεὴς τοῦδ' ἀπολέσαιμι τὴν χάριν ;
Αἰνούμενοι γὰρ ἀγαθοὶ τρόπον τινὰ
μισοῦσι τοὺς αἰνοῦντας, ἢν αἰνῶσ' ἄγαν.
Αἰσχύνομαι δὲ παραφέρουσ' οἰκτροὺς λόγους,
ἰδίᾳ νοσοῦσα · σὺ δ' ἄνοσος κακῶν γ' ἐμῶν.
᾿Αλλ' οὖν ἔχει τι σχῆμα, κἂν ἄπωθεν ᾖ
ἀνὴρ ὁ χρηστός, δυστυχοῦντας ὠφελεῖν.
Οἴκτιρε δ' ἡμᾶς · οἰκτρὰ γὰρ πεπόνθαμεν.
῞Η πρῶτα μέν σε γαμϐρὸν οἰηθεῖσ' ἔχειν,
κενὴν κατέσχον ἐλπίδ' · εἶτά σοι τάχα
ὄρνις γένοιτ' ἂν τοῖσι μέλλουσιν γάμοις
θανοῦσ' ἐμὴ παῖς, ὅ σε φυλάξασθαι χρεών.
᾿Αλλ' εὖ μὲν ἀρχὰς εἶπας, εὖ δὲ καὶ τέλη ·
σοῦ γὰρ θέλοντος παῖς ἐμὴ σωθήσεται.
Βούλῃ νιν ἱκέτιν σὸν περιπτύξαι γόνυ ;
᾿Απαρθένευτα μὲν τάδ' · εἰ δέ σοι δοκεῖ,
ἥξει, δι' αἰδοῦς ὄμμ' ἔχουσ' ἐλεύθερον.
Εἰ δ' οὐ παρούσης ταὐτὰ τεύξομαι σέθεν,
μενέτω κατ' οἴκους · σεμνὰ γὰρ σεμνύνεται.
῞Ομως δ', ὅσον γε δυνατόν, αἰδεῖσθαι χρεών.

ΑΧΙΛΛΕΥΣ

Σὺ μήτε σὴν παῖδ' ἔξαγ' ὄψιν εἰς ἐμήν,
μήτ' εἰς ὄνειδος ἀμαθὲς ἔλθωμεν, γύναι ·
στρατὸς γὰρ ἀθρόος, ἀργὸς ὢν τῶν οἴκοθεν,
λέσχας πονηρὰς καὶ κακοστόμους φιλεῖ.
Πάντως δέ μ' ἱκετεύοντέ θ' ἥξετ' εἰς ἴσον,
ἐπ' ἀνικετεύτοις θ' · εἷς ἐμοὶ γάρ ἐστ' ἀγὼν
μέγιστος, ὑμᾶς ἐξαπαλλάξαι κακῶν.
῾Ως ἕν γ' ἀκούσασ' ἴσθι, μὴ ψευδῶς μ' ἐρεῖν ·
ψευδῆ λέγων δὲ καὶ μάτην ἐγκερτομῶν,

θάνοιμι · μὴ θάνοιμι δ’ ἢν σώσω κόρην.
ΚΛ. Ὄναιο συνεχῶς δυστυχοῦντας ὠφελῶν.
ΑΧ. Ἄκουε δή νυν ἵνα τὸ πρᾶγμ’ ἔχῃ καλῶς.
ΚΛ. Τί τοῦτ’ ἔλεξας ; Ὡς ἀκουστέον γέ σου.
ΑΧ. Πείθωμεν αὖθις πατέρα βέλτιον φρονεῖν.
ΚΛ. Κακός τίς ἐστι καὶ λίαν ταρϐεῖ στρατόν.
ΑΧ. Ἀλλ’ οὖν λόγοι γε καταπαλαίουσιν λόγους.
ΚΛ. Ψυχρὰ μὲν ἐλπίς · ὅ τι δὲ χρή με δρᾶν φράσον.
ΑΧ. Ἱκέτευ’ ἐκεῖνον πρῶτα μὴ κτείνειν τέκνα ·
ἢν δ’ ἀντιϐαίνῃ, πρὸς ἐμέ σοι πορευτέον.

EURIPIDE



**Tournez la page S.V.P.**

## INFORMATION AUX CANDIDATS

Vous trouverez ci-après les codes nécessaires vous permettant de compléter les rubriques figurant en en-tête de votre copie.

Ces codes doivent être reportés sur chacune des copies que vous remettrez.

| Concours | Section/option | Epreuve | Matière |
|---|---|---|---|
| EAE | 0201A | 104 | 0319 |

IMPRIMERIE NATIONALE – 20 0067 – D'après documents fournis